ἐπίσχες, ὡς ἂν προυξερευνήσω στίβον,
μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
κἀμοὶ μὲν ἔλθῃ φαῦλος ὡς δούλῳ ψόγος,
σοὶ δ᾽ ὡς ἀνάσσῃ· πάντα δ᾽ ἐξειδὼς φράσω
ἅ τ᾽ εἶδον εἰσήκουσά τ᾽ Ἀργείων πάρα,
σπονδὰς ὅτ᾽ ἦλθον σῷ κασιγνήτῳ φέρων
ἐνθένδ᾽ ἐκεῖσε δεῦρό τ᾽ αὖ κείνου πάρα.
ἀλλ᾽ οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
κέδρου παλαιὰν κλίμακ᾽ ἐκπέρα ποδί·
σκόπει δὲ πεδία καὶ παρ᾽ Ἰσμηνοῦ ῥοὰς
Δίρκης τε νᾶμα πολεμίων στράτευμ᾽ ὅσον.

ΑΝ. ὄρεγέ νυν ὄρεγε γεραιὰν νέᾳ
χεῖρ᾽ ἀπὸ κλιμάκων, ποδὸς
ἴχνος ἐπαντέλλων.

ΠΑΙ. ἰδοὺ ξύναψον, παρθέν᾽· εἰς καιρὸν δ᾽ ἔβης·
κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
στράτευμα, χωρίζουσι δ᾽ ἀλλήλων λόχους.

ΑΝ. ἰὼ πότνια παῖ Λατοῦς
Ἑκάτα, κατάχαλκον ἅπαν
πεδίον ἀστράπτει.

ΠΑΙ. οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
πολλοῖς μὲν ἵπποις, μυρίοις δ᾽ ὅπλοις βρέμων.

ΑΝ. ἆρα πύλαι κλῄθροις χαλκόδετ᾽ ἔμβολά τε
λαϊνέοισιν Ἀμφίονος ὀργάνοις
τείχεος ἥρμοσται;

ΠΑΙ. θάρσει· τά γ᾽ ἔνδον ἀσφαλῶς ἔχει πόλις.
ἀλλ᾽ εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

ΑΝ. τίς οὗτος ὁ λευκολόφας,
πρόπαρ ὃς ἁγεῖται στρατοῦ
πάγχαλκον ἀσπίδ᾽ ἀμφὶ βρα-
χίονι κουφίζων;

ΠΑΙ. λοχαγός, ὦ δέσποινα. ΑΝ. τίς, πόθεν γεγώς;
αὔδασον, ὦ γεραιέ, τίς ὀνομάζεται;

---

109. ἰὼ παῖ λατοῦς πότνια C 114. χαλκόδετ᾽ ἔμβολά τε] Seidlerus, χαλκόδετά τ᾽ ἔμβολα libri. 115. λαϊνέοισιν] Seidlerus, λαινέοις libri. 121. βραχίονα C